EVELINA MINEVA

# THE BYZANTINE HAGIOGRAPHIC AND HYMNOGRAPHIC TEXTS ON ST PARASCEVE OF EPIBATAE

## PART ONE

## THE BYZANTINE VITA OF ST PARASCEVE OF EPIBATAE OR THE VITA BY "VASILIKOS THE DEACON"

INSTITUTE FOR LITERATURE
BULGARIAN ACADEMY OF SCIENCES
SOFIA 2017

## Μηνὶ Ὀκτωβρίῳ ΙΔ'[1]

## Βίος[2] καὶ πολιτεία καὶ ἀγῶνες καὶ μερικὴ θαυμάτων διήγησις τῆς ὁσίας μητρὸς ἡμῶν Παρασκευῆς[3]

**Ι.** Καλὰ μὲν καὶ τὰ τῶν φιλοθέων ἀνδρῶν ἀριστεύματα κατὰ τοῦ κοινοῦ πολεμίου καὶ μεγίστων τῶν ἐγκωμίων ἐπάξια· κρείττω δέ γε πολλῷ καὶ περιφανέστερα τὰ τῶν ἀνδρειοφρόνων γυναικῶν γενναῖα νεανιεύματα· καὶ πλειόνων δικαιότατα τῶν ἐπαίνων τετυχηκέναι · ὅσῳ γοῦν καὶ ἀσθενεστέρας μετείληχον[4] φύσεως· καὶ παρὰ ταύτης, οὐδαμῶς ἀναδραμεῖν εἰς τὸ τῆς ἀρετῆς ἀκρότατον τὸ παράπαν ἐνεποδίσθησαν, ἀλλὰ δὴ καὶ τὸ θῆλυ ἀνδρικωτάτῳ ἠρρένωσαν λογισμῷ· καὶ τὰ αὐτὰ ἢ καὶ μείζω τοῖς ἀνδράσιν εἰργάσαντο τρόπαια κατὰ τοῦ τῆς βροτείας φύσεως ἀρχῆθεν ἀσπόνδου ἐχθροῦ. Καὶ ταῦτα μὲν ἴσως αἱ καὶ γήρᾳ προβεβηκυῖαι μακρῷ, καὶ χρόνῳ πολλῷ ἐμπειρίαν καρπωσάμεναι, πλείστην καὶ πρὸς ἀρετὴν εὐδοκίμησιν· εἰ δὲ καὶ νεᾶνις ἀπα-

---

[1] Μηνὶ Ὀκτωβρίῳ ΙΔ' in mg. superiore C, μηνὶ τῷ αὐτῷ ΙΔ' in mg. superiore G

[2] Litterae **Π**<α>**Λ**<αιο>**Λ**<ό>**Γ**<ος> in ornamentatione supra tit. C

[3] εὐλόγησον, πάτερ add. C, εὐλόγησον add. G

[4] μετείληχον sic codd., Halkin

λωτάτη τὴν ἡλικίαν καὶ τὴν σάρκα ἀκμάζουσα[5], νεανικῶς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου κατέβαλε · [Eph. 6: 12] καὶ μετὰ τῆς τοῦ σώματος συμπλοκῆς τοὺς ἀπηλλαγμένους τοῦ σώματος καὶ μεθέξει ἐν ὕλης[6] μαχητὰς τοὺς ἀΰλους κατήρειψε, καὶ ὡραιοτάτοις ῥωμαλεώτατα κατελέπτυνε τοῖς ποσί, πόσης[7] οὐκ ἂν εὐφημίας καὶ ἀναρρήσεως πρεπωδεστάτη ηὐμοιρηκέναι;

**II.** Τοιαύτη τοιγαροῦν καὶ ἡ νῦν ἡμῖν καταστᾶσα τοῦ λόγου ὑπόθεσις, ἡ μεγαλώνυμος ὄντως Παρασκευή· ἀλλ' ἄνωθεν τὰ ταύτης καὶ διηγητέον καὶ εὐφημητέον ὡς δύναμις. Καί μοι τῶν μεμψιμοίρων μηδεὶς τοῦ τολμήματος νεμεσάτω · βαρὺ καὶ γὰρ τὸ ἐξωριάζειν λόγους πατρὸς ἡγησάμενος, τοῖς ὑπὲρ δύναμιν ἐγχειρεῖν ηὐθαδιασάμην. Αὕτη τοιγαροῦν ἡ καλοῖς ἐνθέοις κομῶσα ἐν κώμῃ τινὶ τῆς περιφήμου γεγέννηται Θρᾴκης· Ἐπιβάται κλῆσις τῷ χώρῳ· ὅς γε καλλίστης ἄγαν τῆς θέσεως καὶ εὐκραέων ἀπολελαυκὼς τῶν ἀέρων, οὐ τοσοῦτον τούτοις ἐγκεκαλλώπισται, ὅσον ἐπὶ τῷ οἰκείῳ γάννυταί τε καὶ κεκλέϊσται[8] θεσπεσίῳ βλαστῷ, οὗπερ καὶ δαψιλεῖς τετρύγηκε τοὺς καρποὺς καὶ εἰσέτι τούτοις πλησμίως ἐπεντρυφᾷ. Εἰ δὲ καὶ μέγα[9] ἐπὶ Ῥωμύλῳ οἶδεν ἡ Ῥώμη φρονεῖν, πολλῷ δῆτα ἐπὶ

---

[5] ἀκμάζουσα conj. Halkin: ἐκμάζουσα sic codd.

[6] μεθέξει ἐν ὕλης sic codd., μεθέξειεν ὕλης Halkin: ἐν μεθέξει ὕλ expectes.

[7] πόσης corr.: πόσοις sic codd., nomen om. susp. Halkin

[8] κεκλέησται sic codd., Halkin

[9] μέγα deest in Halkin